ἀναφυέντων διαφερόμενοι πρὸς ἀλλήλους οἱ τῶν ἐκκλησιῶν
ἄρχοντες ἕκαστοι περὶ ὧν ἐσπούδαζον πρὸς τοὺς ὁμοδόξους
ἔγραφον, καὶ καθ' ἑαυτοὺς συνιστάμενοι κατὰ συνόδους
ἐψηφίζοντο ἅπερ ἠβούλοντο, καὶ τῶν τἀναντία δοξαζόντων
πολλάκις ἐρήμην κατεδίκαζον, καὶ τοὺς κατὰ καιρὸν βασιλέας
καὶ τοὺς ἀμφ' αὐτοὺς δυναμένους περιέποντες ὡς εἶχον
δυνάμεως ἔπειθον καὶ ὁμόφρονας αὐτοῖς κατεσκεύαζον, εἰς
861 ἀπόδειξίν τε τοῦ δόξαι σέβειν ὀρθῶς οἱ μὲν τοῖς, οἱ δὲ ἐκείνοις
προστιθέμενοι συναγωγὴν ἐποιήσαντο τῶν ὑπὲρ τῆς οἰκείας
αἱρέσεως φερομένων ἐπιστολῶν καὶ τὰς ἐναντίας παρέλιπον.
**16** Ὃ δὴ σκολιὰν ἡμῖν λίαν κατεσκεύασε τὴν εὕρεσιν τῶν
περὶ ταῦτα συμβάντων. Ἐπεὶ δὲ μάλιστα τῆς ἀληθείας
ἐπιμελεῖσθαι χρεὼν διὰ τὸ τῆς ἱστορίας ἀκίβδηλον, ἀναγκαῖον
ἐφάνη μοι, ὡς οἷόν τε ἦν, πολυπραγμονῆσαι καὶ τὰς τοιαύτας
γραφάς.

Εἰ τοίνυν καὶ στάσεις ἐκκλησιαστικῶν πρὸς ἑαυτοὺς περὶ
προεδρίας ἢ προτιμήσεως τῆς οἰκείας αἱρέσεως διεξέλθω,
μή τῳ φορτικὸν ἢ ἐθελοκάκου προαιρέσεως εἶναι δόξῃ
τοιαῦτά με ἱστορεῖν. **17** Πρῶτον μὲν γάρ, ὡς εἴρηται,
πάντα δεύτερα ποιεῖσθαι τῆς ἀληθείας τόν συγγραφέα
10 προσῆκεν· | ἔπειτα δὲ τὸ δόγμα τῆς καθόλου ἐκκλησίας
γνησιώτατον ὅτι μάλιστα φανεῖται πολλάκις μὲν ταῖς ἐπιβου-
λαῖς τῶν ἐναντία δοξαζόντων δοκιμασθέν, οἷα δὲ θειόθεν τὸ
κρατεῖν λαχὸν αὖθις εἰς τὴν οἰκείαν ἐπανελθὸν δύναμιν καὶ
πάσας τὰς ἐκκλησίας καὶ τὰ πλήθη πρὸς τὴν οἰκείαν ἀλήθειαν
ἐπισπασάμενον.

**18** Βουλευομένῳ δέ μοι, εἰ ὧν ἔγνων μόνα προσῆκεν
ἀναγράψαι τὰ γενόμενα περὶ τὴν ἐκκλησίαν ἀνὰ τὴν Ῥωμαίων
ἀρχήν, ἔδοξεν εὖ ἔχειν, ἐφ' ὅσον ἐφικέσθαι δυνήσομαι, καὶ
τὰ παρὰ Πέρσαις καὶ βαρβάροις συμβάντα ἐπὶ τῇ θρησκείᾳ